κινητὰ καὶ ἀκίνητα πράγματα, ὑποστατικά τε καὶ αὐτούργια . . . . . . . . . . τοῦ ἁγίου. . . . . . λεισαίωνος, τῆς Κουλούρας καὶ τὰ λοιπὰ χωράφια τὰ εἰς τὸν Κάμ[πον . . . . . . , διακείμενα, ἃς καὶ προκατεῖχε μέχρι τοῦ νῦν. ὡσαύτως δὲ καὶ τοὺς οὓς ἔχει παροίκους διὰ ὁρισμῶν καὶ διὰ [πρακ]τικοῦ, κατέχειν δὲ τὴν δηλωθεῖσ[αν μον]ὴν ταῦτα πάντα ἀδιασείστως, ἀνενοχλήτως καὶ ἀναποσπάστως, ἐπαπολαύειν τε καὶ τοὺς παροίκους αὐτῆς πάσης ἐξκουσ[σείας καὶ] διατηρεῖσθαι τούτους ἀνεκπρεάστους ἀπὸ πάντων τῶν δημοσιακῶν ζητημάτων καὶ ἀπὸ πασῶν τῶν ἐπηρειῶν ἀζημίους καὶ [ἀκαταζητ]ήτους, καθὼς καὶ μέχρι τοῦ νῦν διετηροῦντο, ὀφειλόντων τῶν κατὰ καιροὺς δουκευόντων ἐν [τῇ το]ιαύτῃ χώρᾳ ἀπογρα[φέων τε καὶ ἐ]ξισ[ωτῶν] καὶ τῶν προνοίας ἐχόντων στρατιωτῶν ἐν τῷ αὐτῷ τόπῳ, ἀλλὰ δὴ καὶ αὐτῶν τῶν Παλατιανῶν διατη[ρεῖν τῇ ἐμ]φανείᾳ τοῦ παρόντος ὁρισμοῦ τῆς βασιλείας μου ἅπαντα τὰ ἀνήκοντα τῇ τοιαύτῃ μονῇ ἀζήμια καὶ ἀβλαβῆ. [ἐπὶ τού]τῳ γ[ὰρ ἐγεγ]όνει τῇ διαληφθείσῃ μονῇ εἰς ἀσφάλειαν μὲν αὐτῆς, ἐπικύρωσιν δὲ καὶ ἑδρ[αίωσιν] τῶν προ[σόντων αὐτῇ δικαιωμάτων καὶ] ὁ παρὼν τῆς βασι[λείας μου] ὁρισμός. †

† Μηνὶ ὀκτωβρίῳ, ἰνδικτιῶνος β΄. †

*Archetyp. chart. Sak. nro 113. Tabula videtur esse imperatoris Theodori II. Lascaris et anni 1258 (6767).*

## LXXIV. Sine anno, mense octobri, ind. II.

*Imperator confirmat monasterio S. Ioannis Theologi omnes possessiones.*

† Πρόσεισι μὲν τῇ κατὰ τὴν νῆσον Πάτμον διακειμένῃ σεβασμίᾳ μονῇ τῇ ἐπ᾽ ὀνόματι ἐνιδρυμένῃ τοῦ ἁγίου ἀποστόλου καὶ ἠγαπημένου τῷ Χριστῷ Ἰωάννου τοῦ Θεολόγου διάφοροι ὁρισμοὶ τῶν ἀ[οιδ]ίμων βασιλέων, τῶν γονέων τῆς βασιλείας μου, τοῦ τε πάππου καὶ πατρὸς αὐτῆς, τοῦ [κα]τέχειν τὴν τοιαύτην [μονὴν καὶ νέμε]σθαι ἀδιασείστως πάντη καὶ ἀταράχως ἅπαντα τὰ προσηρμοσμένα ταύτῃ μετόχια καὶ λοι[πὰ κτήμα]τα κινητὰ καὶ ἀκίνητα, τά τε ἐν διαφόροις τόποις κείμενα καὶ [ἐν] ταῖσδε ταῖς νήσοις, τῇ τε Κῷ καὶ τῇ Λέρνῳ, καὶ ἐν τοῖς κατὰ τὸν [Μαία]νδρον Παλατίοις τὰ ἐπιλεγόμενα τοῦ Πύργου, τῆς Κῶ, τὰ τοῦ Περιπάτου καὶ Ἀντιμαχείας, ὡσαύτως τε κατέχ[ειν] καὶ τοὺς προσόντας ταύτῃ παροίκους τε καὶ ξένους καὶ ἀνεπιγνώστους τῷ δημοσίῳ ἔξω παντὸς βάρους, καὶ ἐπαπολαύειν τὴν [εἰρη]μένην μονὴν ἐπὶ πᾶσιν, οἷς κέκτηται, πάσης ἐξκουσσείας καὶ ἀνενοχλησίας, [ὡς] καὶ μέχρι μὲν τοῦ νῦν κατεῖχε ταῦτα πάντα καὶ ἐνέμετο ἀ[νε]νοχλή[τως] καὶ ἀν[αφαι]ρέτως, εἴς τε πλείονα ἀσφάλειαν

αὐτῆς καὶ ἑδραίωσιν ἐδεήθησαν τῆς βασιλείας μου οἱ ἐν αὐτῇ μοναχοὶ γενέσθαι ταύτῃ καὶ ὁρισμὸν τῆς βασιλείας μου, καὶ ἡ βασιλεία μου τῆς δεήσεως αὐτῶν ἐπακούσασα τὸν παρόντα ὁρισμὸν αὐτῆς ἐπιχορηγεῖ τῇ δηλωθεί[σῃ μονῇ, δι' οὗ] καὶ διορ[ίζε]ται ἔχειν τὸ πιστὸν καὶ ἀπαρέγκλητον ἅπαντα τὰ προσόντα ταύτῃ χαρτῷα δικαιώματα καὶ κατέχειν τοὺς ἐν αὐτῇ μοναχοὺς καὶ νέμεσθαι ἅπαντα τὰ κατὰ μέρος ἄνωθεν εἰρημένα καὶ κ[ατὰ] δίκαιον λόγον τῇ τοιαύτῃ μονῇ ἀνήκοντα, ἤγουν μετόχια τὰ ἐν διαφόροις τόποις διακείμενα, λοιπά τε κινητὰ καὶ ἀκί[νη]τα πράγματα καὶ τοὺς προσόντας παροίκους ἀδιασείστους, ἀνυποστάτους τε καὶ ἀνεπιζητήτους, [ἀπολαύειν δὲ] πάσης καὶ παντοίας ἐξκουσσείας τε καὶ ἀνενοχλήσεως ἐπὶ πᾶσι τούτοις [τοῖς ἀνήκουσι] τῇ ῥηθείσῃ μονῇ ἀπὸ πάντων τῶν δημοσιακῶν ζητημάτων καὶ ἀπὸ πασῶν τῶν ἐπηρειῶν καὶ συζητήσεων νῦν τε πολιτευομένων καὶ εἰς τὸ ἑξῆς ἐπινοηθησομένων κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ χρυσοβούλλων, ὁρισμῶν τε καὶ λοιπῶν δικαιωμάτων ἐφ' ᾧ καὶ οἱ κατὰ καιροὺς δουκικὰς . . . . . . ἐν [τῇ] τοιαύτῃ χώρᾳ καὶ οἱ προνοιαστικ . . . . . . . . . . . . . οἱ κ . . . στρατιῶται, ἀλλὰ δὴ καὶ οἱ κατὰ καιροὺς ἀποστελλόμενοι ἐν τῇ Κῷ . . . . . . . . . . . . [δημο]σιακὰς δουλείας, ὀφείλουσι διατηρεῖν ἅπαντα τὰ κατὰ τὴν τοιαύτην μονὴν ἀδιάσειστα καὶ ἀκαταζήτητα· ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῇ διαληφθείσῃ μονῇ εἰς ἀσφάλειαν μέν, ἐπικύρωσιν δὲ καὶ [βεβαί]ωσιν τῶν προσόντων αὐτῇ δικαιωμάτων καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός. †

Εἶχε καὶ τό· μηνὶ ὀκτωβρίῳ, ἰνδικτιῶνος β'.

*Exemplar antiquum, Flor. nro 57. Tabula videtur esse imperatoris Theodori II. Lascaris et anni 1258 (6767).*

## LXXV. Sine anno et mense.

*Presbyter Nicetas Carantinus abbati monasterio S. Ioannis Theologi scribit de rebus publicis et fuga Michaelis Palaeologi ad Turcas.*

† Τῷ ἁγίῳ μου αὐθέντῃ καὶ πατρί, τῷ πανηγιασμένῳ καθηγουμένῳ τῆς σεβασμίας καὶ ἁγίας μονῆς τῆς Πάτμου, ὁ παῖς τῆς μεγάλης ἁγιωσύνης σου, ὁ νομικὸς τῶν Παλατίων, Νικήτας ὁ ἱερεὺς ὁ Καραντινός. †

† Ἅγιέ μου αὐθέντα καὶ πάτερ. πέποιθα εἰς θεὸν ὑγιαίνειν καὶ εὐθυμεῖν τὴν μεγάλην ἁγιωσύνην σου. καὶ ἡμεῖς μὲν ζῶμεν, ὡς δὲ ἐστενοχωρίσθημεν καὶ κακοπαθοῦμεν ἀπὸ τῆς οἰκήσεως τοῦ κάστρου τὸ γράφειν τὴν ἁγιωσύνην σου οὐκ

ἔχω. ἀπέμεινεν δὲ εἰς τὸ τοῦ θεοῦ ἔλεος καὶ εἰς τὴν εὐχήν σου. ἐγώ, θεὸς οἶδεν, πίστευσόν μοι, οὐκ ἔχω εἰς ἄλλον εἰς τὸν κόσμον παρὰ τὴν ἁγιωσύνην σου εἰς ἀγάπην ἢ εἰς θεόν. καὶ ὅταν μανθάνω καὶ βλέπω τὴν ἁγιωσύνην σου διὰ γραφῆς σου, τότε μεγάλως χαίρομαι καὶ εὐφραίνομαι, λανθανόμενος καὶ τὰ ἐπ' ἐμοὶ θλιβερὰ ἅπαντα. [ὅταν δὲ] πάλιν ἀργήσω τοῦ μαθεῖν ἀπὸ τῆς ἁγιωσύνης σου, τότε λύπῃ ἀπαραμυθήτῳ συνέχομαι καὶ διὰ τῶν ἁγίων εὐχῶν σου, ἂς μανθάνω ἐκ τῆς ἁγιωσύνης σου τοῦ κουφίζειν τὰς ματαίας καὶ κοσμικὰς θλίψεις. καὶ διὰ τὸν θεὸν μὴ ἐπιλανθάνου τῆς πτωχείας ἡμῶν. ἔστω δὲ γνωστὸν τῇ ἁγιωσύνῃ σου περὶ των συμβαινόντων. ὁ αὐθέντης ἡμῶν ὁ βασιλεὺς ὁ ἅγιος τῇ τοῦ θεοῦ κραταιᾷ χειρὶ τὸν τῆς δύσεως ἐτροπώσατο πάντα ἐχθρὸν καὶ πολέμιον καὶ ἀπεκατέστησεν εἰρήνην βαθεῖαν μετά τε τοῦ Ἀσάνη καὶ τοῦ συμπενθεροῦ αὐτοῦ. ἐπληρώθη γάρ, ὡς ἐμάθομεν, καὶ ὁ γάμος, ἀλλὰ δὴ καὶ κάστρα ἀπέδοτο ὁ συμπενθερὸς πρὸς τὸν αὐθέντην ἡμῶν τὸν βασιλέα τὸν ἅγιον, τό τε Δυράχιν καὶ ἄλλα κάστρα μεγ[άλα, καὶ νῦν], ὡς μανθάνομεν, ἔρχεται τῶν ἐνταῦθα. ὁ δὲ συρτάνος, ὡς ἐμάθομεν, ἐνικήθη παρὰ τῶν Ταρταρίων, καὶ ἀπέφυγεν εἰς τὸ Καλ . . . ρος. ὁ δὲ κῦρις Μιχαὴλ ὁ Παλαιολόγος ἔφυγεν καὶ ἀπῆγεν εἰς τὸν συρτᾶνον, καὶ εὑρέθη εἰς τὸν πόλεμον. τῶν Ταρ[τά]ρων καί, ὡς λέγουν, ἐποίησάν τον κεφαλὴν εἰς τὸ ῥωμαϊκὸν τὸ φωσάτον, καὶ ἐνεπλάκη τὸν πόλεμον καὶ ἐνίκησεν αὐτόν. [ὡς] δὲ εἶδον οἱ μουσουλμάνοι, ἐπεβουλεύσαντο, καὶ οἱ μὲν ἀπῆλθον [μετὰ τῶ]ν Τατάρων, οἱ δὲ ἔφυγον. καὶ ἴσως τοῦτος ὁ Παλαιολόγος ἔφυγεν καὶ αὐτὸς καὶ εἰσῆλθεν εἰς κάστρον, ὡς λέγουν, καὶ ἐκράτησεν μέτοχα, ὅσον καὶ αὐτὸν καὶ οὐκ ἐγνωρίσαμεν ἀκριβῶς περὶ τῶν γενομένων. οἱ μὲν λέγουσιν, ὅτι δικαίως τοῦ ἀδελφοῦ τοῦ σουλτάνου τάχα τοῦ υἱοῦ τῆς Ἠβερίας σφετεριζόμενον τὴν ἀρχὴν ποιώσειν ταῦτα οἱ Ταρτάριοι, οἱ δέ, ὅτι ἐξ ὁρισμοῦ τοῦ μεγάλου Τάταρη μετέπεισεν αὐτὸν καὶ ἦλθεν εἰς Τουρκίαν, καὶ εἰς τὸν τόπον αὐτοῦ ἔθεσεν ἄλλον. καὶ εἰσὶν τὰ πράγματα οὕτως τεταραγμένα, καὶ εὔχου, ὅπως διὰ τῶν εὐπροσδέκτων εὐχῶν τῆς μεγάλης ἁγιωσύνης σου εἰρηνεύσουσιν, ἵνα καὶ ἡμεῖς τὸ βραχὺ τῆς ζωῆς ἡμῶν εἰρηνικῶς περαιώσωμεν. τοὺς ἀδελφοὺς ἅπαντας μετάνοιαν ποιῶ, τὴν δὲ μεγάλην ἁγιωσύνην σου δουλικῶς ὡσαύτως . . . . . . . . . . . . . . . . . . . . ποιῆσαι τῇ μεγάλῃ ἁγιωσύνῃ σου. τὸν δὲ Καλοϊωάννην τὸν Παλαιολόγον εἰς τὴν Ῥόδον ἔβαλον αὐτὸν . . . . . . . . . . αὐτόν. ἡμᾶς δὲ δι' εὐχῶν μέμνησο καὶ παρηγόρει ἡμῖν διὰ γραφῶν σου. καὶ γράψω τῇ ἁγιωσύνῃ σου καὶ περὶ τῶν . . . ῶν τῶν γενομένων ἐν τῷ Πύργῳ καὶ . . . . ἡμῖν, πῶς ταῦτα ποιῶσιν ἄνευ ὁρισμοῦ τῆς ἁγιωσύνης σου. ἐγὼ γάρ, φαίνεταί μοι . . . . . . . . . . . . . . . ἐκπληροῦν κατὰ τὸ θέλημά σου. †

*Archetypum chart. Flor. II. nro 16. De fuga M. Palaeologi ad Turcas v. Nicephorum Gregoram ad annum 1256 (I. p. 57 ed. Bonn.).*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## LXXVI. 6767—1259, mense maio, ind. II.

*Imperator Michael Palaeologus confirmat privilegia et possessiones monasterii donatque ei agrum.*

† Ἔρχεται καὶ ἀπὸ τοῦ τόπου, ὥσπερ δὴ καὶ ἀπὸ τῶν προσώπων συγκρότησις εἰς τὴν διάθεσιν τῆς ψυχῆς καὶ μεγάλης προσθήκης αἴτιον τοῦτο καθίσταται πρὸς τῷ ἀπὸ τῆς φύσεως τοῦ πράγματος δικαίῳ προστιθεμένης καὶ τῆς ἐντεῦθεν ποιότητος τοῦ καλοῦ, καὶ τοσοῦτον πλέον τοῦθ' οὕτω γίνεται, ὅσον ἂν πλείονα προσήκει τῷ τόπῳ τὰ ἀγαθά. ἐπενεκτέον δὲ καὶ ὧν ἕνεκα ταῦτα ἡ βασιλεία μου προεξέθετο. ἡ κατὰ τὴν Πάτμον εὐαγεστάτη τοῦ κατ' ἐξαίρετον ἠγαπημένου Χριστῷ καὶ εὐαγγελιστοῦ Θεολόγου μονὴ πολλὰ καὶ πολυτρόπως ἔχουσα τὰ συνιστῶντα τὴν ταύτης σεμνότητα, τὸ ἀνακεχωρηκὸς τοῦ τόπου καὶ ἰδιάζον, τὴν θεάρεστον τῶν ἐν αὐτῇ ἀσκουμένων διαγωγήν, τὴν τοῦ πνευματικῶς αὐτῆς προϊσταμένου χρηστοήθειαν καὶ πρὸ πάντων καὶ ἐπὶ πᾶσι τὴν ἁγιαστικὴν χάριν, ἣν ἐπαφῆκε τῷ τόπῳ διὰ τῆς αὐτοῦ χρονιωτέρας διατριβῆς καὶ τῆς ἐπιχορηγηθείσης αὐτόθι τούτῳ πνευματικῆς δυνάμεως ὁ ἐπιστήθιος ἀπόστολος τοῦ Χριστοῦ. τοσαῦτα μὲν οὖν καὶ τοιαῦτα ἔχουσα τὰ καλά, καθ' ἕκαστον τούτων τῇ διαθέσει τῆς βασιλείας μου καὶ ᾠκείωται. τοίνυν καὶ δεῖγμα ταύτης ὁ παρὼν χρυσόβουλλος λόγος ἐξετέθη τῆς βασιλείας μου καὶ ἐπεφιλοτιμήθη τῇ τοιαύτῃ μονῇ, δι' οὗ καὶ κρατύνει μὲν καὶ ἀσφαλίζεται ἡ βασιλεία μου πάντα τὰ προσόντα αὐτῇ παλαιγενῆ δικαιώματα, χρυσόβουλλά τε καὶ ὁρισμοὺς καὶ ἀναγραφικὰς ἀποκαταστάσεις καὶ ἐκδόσεις ἐγγράφους καὶ πάντα ἁπλῶς τὰ ἐν χαρτῴοις δικαιώμασι καὶ τὴν αὐτῶν ἰσχὺν καὶ τὴν τῶν πραγμάτων κατοχὴν καὶ νομὴν βεβαιοτέραν καὶ ἀρραγεστέραν περιποιεῖται αὐτῇ κατὰ πάσας τὰς περιλήψεις αὐτῶν. εἰς μέντοι περισσοτέραν ἀσφάλειαν καὶ ὡς ἐν κεφαλαίῳ τὰ ταύτῃ προσόντα κτήματα ἡ βασιλεία μου τῷ παρόντι περιλαμβάνει χρυσοβούλλῳ λόγῳ ταύτης, ἃ καὶ ἔχουσιν οὕτως· μετόχιον ὁ Πύργος, ὃ κατὰ μὲν τὸν Μαίανδρον καὶ ἐγγὺς τῶν Παλατίων διάκειται, προσεκυρώθη δὲ τῇ μονῇ διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως καὶ θείου τῆς βασιλείας μου, κυροῦ Θεοδώρου Κομνηνοῦ τοῦ Λάσκαρι, ἀνεθεωρήθη δὲ καὶ παρὰ τοῦ περιποθήτου θείου τῆς βασιλείας μου τοῦ πανυπερσεβάστου κυροῦ Γεωργίου τοῦ Ζαγαρομμάτου, καὶ περιωρίσθη δι' ἐγγράφου αὐτοῦ περιορισμοῦ, ὃν δὴ ὁρισμὸν καὶ τὸ κῦρος ἔχειν ἡ βασιλεία μου

Ε.Ε.Δ. της Κ.Θ.Π ΙΩΑΝΝΙΝΑ 2006

διορίζεται καὶ πάντα τὰ τοῦ τοιούτου μετοχίου δίκαια ἐπί τε τοῖς ὑποστατικοῖς καὶ τοῖς προσκαθημένοις ἐν αὐτῷ παροίκοις καὶ δουλευταῖς. ἡ μονὴ τῆς ὑπεραγίας Θεοτόκου τῆς Κεχιονισμένης, ἡ καὶ αὐτὴ πλησίον μὲν τῶν Παλατίων διακειμένη, συστᾶσα δὲ καὶ βελτιωθεῖσα παρὰ τοῦ οἰκείου τῇ βασιλείᾳ μου, Γεωργίου τοῦ Μονοχυτρᾶ, καὶ προσκυρωθεῖσα τῇ τῆς Πάτμου μονῇ διὰ τῆς δωρηθείσης αὐτῇ δυνάμεως διὰ χρυσοβούλλου τοῦ ἀοιδίμου βασιλέως καὶ θείου τῆς βασιλείας μου, κυροῦ Ἰωάννου τοῦ Δούκα, μετὰ πάντων τῶν προσαρμοσάντων αὐτῇ δικαίων καὶ προνομίων καὶ καθὼς ἐκεῖνος ταύτην ἀποκατέστησεν, ἤγουν παροίκων δουλευτῶν, ἀμπελίων [καὶ] χωραφίων, ἤγουν τῆς Κουλούρας, τῆς Αἴγας, τοῦ ἁγίου Παντελεήμονος, τῆς Ἀσησοῦ καὶ τῶν περὶ αὐτὰ κατὰ τὴν ἀρχαίαν τούτων νομὴν καὶ κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ δικαιωμάτων. μετόχιον ἐν τῇ νήσῳ Κῷ, ἡ ὑπεραγία Θεοτόκος, ἡ ἐκ τῆς τοῦ τόπου κλήσεως ἐπονομαζομένη τῶν Σπονδῶν, μετὰ πάντων τῶν ἀρχαίων τε καὶ νέων δικαίων αὐτοῦ, ἤγουν χωραφίων τῶν ἐν τοῖς Περιπάτου, τοῖς Πετρορείοις καὶ τῆς Ἀντιμαχίας, τοῦ μύλωνος τοῦ περιελθόντος τῇ μονῇ ἐκ προσενέξεως τοῦ Διογένους, τοῦ διακειμένου ἐν τοῖς τοῦ Εὐδρομαρίου, καὶ τῶν ἐν αὐτῇ προσκαθημένων ξένων καὶ τῷ δημοσίῳ ἀνεπιγνώστων καὶ τῶν λοιπῶν αὐτῆς δικαίων κατὰ τὴν γεγονυῖαν πατριαρχικὴν παράδοσιν καὶ ἀποκατάστασιν. τὰ ἐν τῇ νήσῳ Λέρνῃ μετόχια, ὧν τὸ μὲν ἓν ἐπονομάζεται Παρθένιον, τὸ δὲ ἕτερον Τεμένια, μετὰ πάντων τῶν προσαρμοσάντων ἀνέκαθεν αὐτοῖς δικαίων καὶ τῶν ἐν αὐτοῖς προσκαθημένων παροίκων καὶ δουλευτῶν ἀνεπιγνώστων ὄντων καὶ τούτων παντάπασι τῷ μέρει τοῦ δημοσίου. ἐν τοῖς Φυγέλοις μετόχιον ὁ ἅγιος Γεώργιος μετὰ πάντων τῶν δικαίων αὐτοῦ. ταῦτα μὲν οὖν εἰσὶ τὰ παλαιγενέσι δικαίοις προσαρμόσαντα κτήματα τῇ εὐαγεστάτῃ τῆς Πάτμου μονῇ. καὶ κρατύνει καὶ ἐπικυροῖ ταύτῃ ἡ βασιλεία μου τὴν αὐτῶν δεσποτείαν τε καὶ κυριότητα τῷ παρόντι χρυσοβούλλῳ λόγῳ αὐτῆς κατὰ τὴν ἀνέκαθεν κρατήσασαν νομήν. προσεπιφιλοτιμεῖται δὲ τῇ τοιαύτῃ μονῇ ἡ βασιλεία μου κατ᾽ ἰδίαν φιλοτιμίαν αὐτῆς καὶ ψυχικῆς αὐτῆς ἕνεκα σωτηρίας διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς τὸ χωράφιον τὸ πλησιάζον μὲν τῷ μετοχίῳ τῆς τοιαύτης μονῆς τοῦ Πύργου καὶ ἐπονομαζόμενον ἡ Γωνία τοῦ Πετάκη καὶ συμποσούμενον εἰς ποσότητα ζευγαρίων τεσσάρων, κατεχόμενον δὲ ἀρτίως παρὰ τοῦ μέρους τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ πρωτοσεβάστου κυροῦ Μανουὴλ Κομνηνοῦ τοῦ Λάσκαρι· ἀποσπᾷ γὰρ αὐτὸ ἀπ᾽ ἐκείνου ἡ βασιλεία μου καὶ προσκυροῖ τοῖς δικαίοις τοῦ τοιούτου μετοχίου τοῦ Πύργου καὶ διορίζεται ἀναποσπάστως καὶ ἀναφαιρέτως κατέχεσθαι παρὰ τοῦ μέρους τῆς τοιαύτης μονῆς, ὥσπερ εἰ μηδὲ ἐκτὸς προσετέθη, ἐκ νέου, ἀλλ᾽

ἀρχῆθεν προσηνωμένον ταύτῃ ἐτύγχανε. καθέξει τοίνυν ἡ τοιαύτη μονὴ ταῦτα ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως καὶ ἀνεπηρεάστως καὶ ἐκτὸς πάσης συζητήσεως καὶ ἀπαιτήσεως, καθὼς καὶ πρότερον κατεῖχε ταῦτα καὶ ἐνέμετο, ἢ καὶ ἰσχυροτέρως καὶ βεβαιοτέρως τῇ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου, ὃς καὶ ἀρραγὴς καὶ ἀπερίτρεπτος διαμένειν ὀφείλων εἰς αἰῶνα τὸν ἅπαντα ἐπεβραβεύθη τῇ τοιαύτῃ μονῇ τῆς Πάτμου, γεγενημένος κατὰ μῆνα τὸν μάιον, τῆς δευτέρας ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑξηκοστοῦ ἑβδόμου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος. †

† Μιχαήλ, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος. †

*Archetyp. membr. Flor. nro 27. Edid. I. Sakkelion in periodico inscripto* Δελτίον τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρίας τῆς Ἑλλάδος. *Tom. II. fasc. 6. p. 271—275. In tabulario extant huius tabulae exemplaria quattuor (Flor. nro 28—31); nro 30 scriptum est anno 1780 et subscriptum:* Ὁ ἀρχιμανδρίτης καὶ καθηγούμενος τῆς Πάτμου (ὁ Ξένος) μαρτυρεῖ, ὅτι ἴσον ἐστί. Νικηφόρος ἱερομόναχος καὶ γραμματικὸς τῆς ἱερᾶς τοῦ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου μονῆς μαρτυρῶ, ὅτι ἀντέγραψα τὸ ἄνωθεν χρυσόβουλλον ἀπαραλλάκτως ἀπὸ τοῦ πρωτοτύπου.

## LXXVII. [6767—1259], mense maio, ind. II.

***Imperator Michaël Palaeologus iubet tradi monasterio S. Ioannis agrum, quem ei donavit, situm prope metochium Pyrgi.***

† Οἰκεῖε τῆς βασιλείας μου, Ἀλέξιε Χερῆμον, καὶ σύ, δοὺξ τῆς χώρας Μελανουδίου, Θεόδοτε Καλόθετε. ἡ βασιλεία μου ἐδωρήσατο διὰ χρυσοβούλλου αὐτῆς τῇ κατὰ [τὴν νῆσον] Πάτμον [σεβασμίᾳ μονῇ τῆς βασιλείας μου τοῦ κατ᾽ ἐξαίρετον ἠγαπημένου] Χριστῷ καὶ εὐαγγελιστοῦ Θεολόγου τὸ χωράφιον τὸ πλησιάζον μὲν τῷ μετοχίῳ τῆς μονῆς. τοῦ Πύργου, καὶ ἐπονομαζόμενον ἡ Γωνία τοῦ Πετάκη καὶ συμποσούμενον εἰς ποσότητα ζευγαρίων τεσσάρων, κατεχόμενον δὲ ἀρτίως παρὰ τοῦ μέρους τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ πρωτοσεβάστου κυροῦ Μανουὴλ Κομνηνοῦ τοῦ Λάσκαρη, ἀποσπάσασα τοῦτο ἀπ᾽ ἐκείνου καὶ προσκυρώσασα τοῖς δικαίοις τοῦ τοιούτου μετοχίου τοῦ Πύργου. καὶ διορίζεται ὑμῖν ἡ βασιλεία μου, ὡς ἂν παραδώσητε τοῦτο τῷ μέρει τῆς τοιαύτης μονῆς, ὅπως κατέχῃ αὐτὸ καὶ νέμηται ἀδιασείστως καὶ πάντη ἀναποσπάστως καὶ τὴν ἐξ αὐτοῦ ἀποφέρηται πᾶσαν καὶ παντοίαν πρόσοδον. ποιήσατε οὖν ἀνυπερθέτως

κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντιστρέψατε τῷ μέρει τῆς δηλωθείσης μονῆς εἰς παντελῆ ἀσφάλειαν. †

† Εἶχε τό· μηνὶ μαΐῳ, ἰνδικτιῶνος β', δι' ἐρυθρῶν γραμμάτων τῆς θείας καὶ βασιλικῆς χειρός. †

† Τὸ παρὸν ἴσον τοῦ θείου καὶ προσκυνητοῦ βασιλικοῦ ὁρισμοῦ ἀντιβαλὼν καὶ κατὰ πάντα ἰσάζον εὑρὼν ὑπέγραψα. †

† Ὁ ταπεινὸς μητροπολίτης Μιλήτου Νικηφόρος. †

*Exemplar membr. scriptum a tergo exemplaris aureae bullae imperatoris Michaëlis Palaeologi anno 1259. Flor. nro 28.*

## LXXVIII. [6767—1259], mense iulio, ind. II.

*Imperator Michaël Palaeologus tuetur possessionem agri sibi prope metochium Pyrgi donati monasterio, contra vexationes hominum Mariae Comnenae Lascarinae.*

† Ἀνεψιὰ τῆς βασιλείας μου, πρωτοσεβαστὴ κυρὰ Μαρία Κομνηνὴ Λασκαρίνα. ἀνέμαθεν ἡ βασιλεία μου, ὡς τὸ μέρος τῆς κατὰ [τὴν] Πάτμον σεβασμίας μονῆς τῆς βασιλείας μου, τοῦ κατ' ἐξαίρετον ἠγαπημένου Χριστῷ καὶ εὐαγγελιστοῦ Θεολόγου εὑρίσκει δυναστείαν καὶ ὄχλησιν ἀπὸ τῶν ἀνθρώπων σου ἐπὶ τῇ διὰ χρυσοβούλλου αὐτῆς δωρηθέντι τῇ τοιαύτῃ μονῇ χωραφίῳ τῷ πλησίον τοῦ μετοχίου τοῦ Πύργου καὶ ἐπονομαζόμενον ἡ Γωνία τοῦ Πετάκη. καὶ εἰ ἔχει οὕτω τὰ τῆς ὑποθέσεως, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν ἐπιφωνήσῃ τοὺς τοιούτους ἀνθρώπους σου, ἀλλὰ δὴ καὶ τοὺς χωρίτας, ἀπέχειν τέλεον ἐξ αὐτοῦ. ἐπεὶ γοῦν ἀπέσπασε τοῦτο ἡ βασιλεία μου ἀπὸ τοῦ μέρους σου, τί δίκαιον ἔχουσιν οἱ ἄνθρωποί σου ἐμποδίζειν καὶ διασείειν τὸ μέρος τῆς ῥηθείσης μονῆς ἕνεκα τούτου; καὶ μὴ θελήσῃς καὶ ἔτι ὀχληθῆναι περὶ τούτου τὴν βασιλείαν μου, ἀλλὰ ποίησον ἀνυπερθέτως κατὰ τὸν παρόντα ὁρισμὸν τῆς βασιλείας μου, ὃν καὶ ἀντίστρεψον τῷ μέρει τῆς εἰρημένης μονῆς εἰς ἀσφάλειαν. †

† Μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος β'. †

*Archetyp. chart. Flor. nro 78. Confer. nro 28 alterum exemplar tabulae scriptae a tergo exemplaris aureae bullae Michaëlis Palaeologi editae anno 1259 et subscriptae:* Τὸ παρὸν ἴσον τοῦ θείου καὶ προσκυνητοῦ βασιλικοῦ ὁρισμοῦ ἀντιβαλὼν καὶ κατὰ πάντα ἰσάζον εὑρὼν ὑπέγραψα. † Ὁ ταπεινὸς μητροπολίτης Μιλήτου Νικηφόρος. †

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΠ. ΚΑΘΗΓΗΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΔΙΕΥΘΥΝΣΗ ... Ε.Υ. Δ.Τ.ΦΚ. ΙΩΑΝΝΙΝΑ 2006

## LXXIX. Sine anno et mense.

*Patriarcha tuetur libertatem monasterii et eius abbatis contra episcopos Icariae et Leri.*

† Πρόσεισι μὲν τῇ κατὰ τὴν νῆσον τῆς Πάτμου διακειμένῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ καὶ ἐπ' ὀνόματι τοῦ ἠγαπημένου μαθητοῦ καὶ παρθένου τοῦ Θεολόγου καὶ εὐαγγελιστοῦ Ἰωάννου καὶ ἱδρυμένῃ καὶ τιμωμένῃ τῶν ἀοιδίμων πατριαρχῶν παλαιγενῆ σιγίλλια, τοῦ τε κυροῦ Ἰωάννου, ἀλλὰ δὴ καὶ τοῦ κυροῦ Λουκᾶ, διοριζόμενα κυρίαν εἶναι ταύτην, αὐτοδέσποτόν τε καὶ καθ' ἑαυτήν, τὸν δέ γε πνευματικῶς τῶν ἐν αὐτῇ ἐνασκουμένων μοναχῶν προϊστάμενον μηδενὶ προσώπῳ κοσμικῷ ἢ ἐκκλησιαστικῷ ὑποκείμενον πώποτε, τὴν πατριαρχικὴν δὲ μόνην μεγαλειότητα κεφαλὴν ἐπιγιγνώσκειν πνευματικὴν καὶ ταύτῃ ὑποκεῖσθαι καὶ παρὰ ταύτης ἐπιγινώσκεσθαι, πρὸς δὲ τῇ τῆς μονῆς κυριότητι καὶ τῶν ἐντὸς τῆς νήσου Πάτμου ὑπὸ τὴν μονὴν τελούντων μετοχίων, παροίκων τε καὶ προαστείων, πνευματικῶς καὶ τούτων ἡγεῖσθαι καὶ τοὺς ἐν αὐτῇ δὲ πάντας οἰκοῦντας πνευματικῶς διεξάγειν τὸν τῆς μονῆς καθηγούμενον, σέμνωμα οἶμαι τοῦτο τῇ μονῇ προσαρμόσαν ἀνέκαθεν ἐκ τῆς πατριαρχικῆς μεγαλειότητος διὰ τὸ τὸν ἐπιστήθιον μαθητὴν καὶ ἀπόστολον Ἰωάννην τὸν Θεόλογον ἐν ταύτῃ τῇ νήσῳ τὸ θεῖον συγγράψασθαι εὐαγγέλιον· δι' αὐτὸ γὰρ καὶ ἡ νῆσος ἁπανταχοῦ περιθρύλλητος καὶ ἡ μονὴ περιβόητος, τῶν δὲ πλησιοχωρούντων ἀρχιερέων οὐδεὶς ἔν τινι τῶν ὑπὸ τὴν μονὴν τοῦ Θεολόγου τελούντων κτημάτων παρείσδυσιν τὸ παράπαν κεκτήσεται, οὐδέ τι ἀρχιερατικὸν ἐπ' αὐτοῖς ἐνεργήσει λειτούργημα. ἦν μὲν οὖν οὕτω ἡ ῥηθεῖσα μονὴ καὶ τὰ ὑπ' αὐτὴν ὑπάρχοντα ὑπὸ τὴν τοῦ καθηγουμένου ἀνάκρισιν καὶ διοίκησιν, ἀλλ' ὁ πρὸ χρόνων χρηματίσας τῆς Ἰκαρίας ἐπίσκοπος Κωνσταντῖνος παρ' οὐδὲν θέμενος ταῦτα πόδα παραβαλεῖν ἐν τοῖς ὑπὸ τὴν μονὴν τοῦ Θεολόγου τελοῦσι κτήμασι καὶ ποιμαίνειν τοὺς ἐν αὐτοῖς προσκαθημένους καὶ ἱεροτελεστίας ἐπιτελεῖν καὶ ἄλλα ἄττα ἐν τούτοις διενεργεῖν, ὅσα τοῖς ἀρχιερεῦσιν ἐφεῖται, ἠνάγκαζεν, εἰ καὶ τελείως ἀπεπέμφθη παρὰ τοῦ τὸν πατριαρχικὸν θρόνον τῷ τότε ἰθύνοντος, δι' ὑπομνήματος καὶ ἐνυπογράφου αὐτοῦ γράμματος, ἃ καὶ τῇ ἡμῶν μετριότητι ἐνεφανίσθησαν καὶ εἰκότως προβῆναι αὐτῇ ἐπεγνώσθησαν. ἐπεὶ δὲ ἀρτίως καὶ ὁ τῆς Λέρου ἐπίσκοπος Νεῖλος πειρᾶται παρεισδύεσθαι ἐν τοῖς τοῦ Θεολόγου κτήμασι καὶ ποιμαίνειν τοὺς ἐν αὐτοῖς προσκαθημένους διὰ τὸ ὑπὸ τὴν ἐνορίαν τούτου τυγχάνειν αὐτοὺς καὶ τὰ ὅμοια τῷ Ἰκαρίας ποιεῖν, διὰ τοῦ παρόντος σιγιλλιώδους ὑπομνήματος τῆς ἡμῶν

μετριότητος τῆς παραλόγου τούτου ὁρμῆς ἀναχαιτισθήσεται καὶ τοῦ παρ' ἐνορίαν ἐπιβαίνειν ἐν τοῖς ὑπὸ τὴν μονὴν τοῦ Θεολόγου πατριαρχικοῖς κτήμασι κωλυθήσεται· εἰ γὰρ ἡ ἐν ὀνόματι τοῦ Θεολόγου ἱδρυμένη μονὴ τῷ πατριαρχικῷ ἀφιέρωται θρόνῳ, τὰ ὑπ' αὐτὴν δὲ πάντα ὑπὸ τὴν πατριαρχικὴν τελοῦσι διοίκησιν καὶ τοῦτο ὁμολογούμενον καὶ ἀρχῆθεν ἕως τῆς δεῦρο τελούμενον, πῶς ὁ Λέρου ἐν τούτοις ἕξει παρείσδυσιν; ὅθεν καὶ διορίζεται ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος, μένειν καὶ εἰς τοὺς ἑξῆς τὰ τῆς μονῆς, ὡς τὸ πρότερον. καὶ ὁ μὲν Λέρου ἐπίσκοπος στέρξει Σπάρταν, ἣν ἔλαχε, καὶ τοῖς ἰδίοις ὁρίοις ἀρκεσθήσεται καὶ ὑπὲρ τὰ ἐσκαμμένα οὐ προπηδήσει ποτέ· ἀφέξεται γὰρ πάντη τῆς μονῆς τοῦ Θεολόγου καὶ τῶν ὑπ' αὐτὴν κτημάτων καὶ μετοχίων, οὐδὲ ἱεροπραξίαν τινὰ ἢ χειροτονίαν ἢ ναοῦ καθιέρωσιν ἐν αὐτοῖς τελέσει, ἵνα μὴ τοῖς ἐπαιωρουμένοις κατὰ τῶν τὰ ἀλλότρια ἀκανονίστως σφετεριζομένων σκόλοψι περιπαρῇ, ὁ δὲ καθηγούμενος τῆς τοῦ Θεολόγου μονῆς, ὁ κῦρ Γερμανός, καὶ οἱ μετ' αὐτὸν ἡγουμενεύσοντες ἐν αὐτῇ ἕξουσι τὴν πνευματικὴν ἀνάκρισιν καὶ διοίκησιν τῶν ἐν τοῖς κτήμασι τῆς μονῆς προσκαθημένων πάντων, καθώσπερ εἶχον ἀνέκαθεν, καὶ ποιμανοῦσι τούτους πνευματικῶς κατὰ τὴν ἐνοῦσαν αὐτοῖς διάκρισιν. εἴπερ δὲ καὶ ἀρχιερέως δεηθῇ ὁ καθηγούμενος ἐπὶ χειροτονίᾳ ἢ ἄλλῃ τινὶ ἱεροπραξίᾳ, διορίζεται ἡ μετριότης ἡμῶν, μὴ προσκαλεῖσθαι τὸν τῆς Λέρου ἐπίσκοπον, ἵνα μὴ τῷ λόγῳ τῆς πλησιότητος ὡς οἰκεῖον τὸ πατριαρχικὸν δίκαιον καὶ οὗτος ὀψέ ποτε σφετερίσοιτο, ἀλλ' ἐξ ἑτέρας ἐπισκοπῆς, ἡνίκα δεήσῃ, ἀρχιερέα μετακαλέσεται. ὅνπερ καὶ αἱρετίσεται. διὰ γὰρ τοῦτο ἐγεγόνει τὸ παρὸν σιγιλλιῶδες ὑπόμνημα καὶ τῇ διαληφθείσῃ πατριαρχικῇ μονῇ τοῦ Θεολόγου ἐπεβραβεύθη εἰς ἀσφάλειαν τῶν πειρωμένων κατεπεμβαίνειν αὐτῇ. †

*Exemplaria chart. 2. Flor. II. 31, 32. Edidit I. Sakkelion in periodico:* Εὐαγγελικὸς κῆρυξ. *vol. VII. anno 1863, p. 326—329. Subscriptio patriarchae deest, sed tabula tribuenda videtur Arsenio Autoriano in secundo patriarchatu (1261—1267).*

## LXXX. Sine anno et mense.

*Theodora, uxor imperatoris Michaëlis Palaeologi, confirmat monasterio possessionem metochii Anabasidii in insula Coo.*

### Ὁρισμός.

† Ἦσαν μὲν καὶ εἰσὶ τῇ κατὰ τὴν Πάτμον σεβασμίᾳ μονῇ τῆς βασιλείας μου τοῦ ἠγαπημένου Θεολόγου παλαιγενῆ δικαιώματα καὶ χρυσόβουλλα τῶν ἀοιδίμων βασιλέων, ἀλλὰ δὴ καὶ χρυσόβουλλον τοῦ αὐθέντου μου, τοῦ βασιλέως τοῦ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περιποθήτου μου αὐτοκράτορος, διοριζόμενον κατέχεσθαι παρὰ τῆς τοιαύτης μονῆς καὶ τὸ προάστειον τὸ ἐν τῇ νήσῳ τῆς βασιλείας μου τῇ Κῷ, τὸ Ἀναβασείδιον ὀνομαζόμενον, μετὰ πάντων τῶν δικαίων αὐτοῦ, ἤγουν μετρίων ἐλαϊκῶν δένδρων καὶ ἑτέρων τινῶν. ἐπεὶ δὲ ἀνεθεωρήθη τὸ τοιοῦτον προάστειον καὶ παρὰ τοῦ οἰκείου τῆς βασιλείας μου, Ἰωάννου τοῦ Μαγκαφᾶ, τοῦ τὴν ἀναθεώρησιν ποιησαμένου ἐν τῇ νήσῳ τῆς βασιλείας μου τῇ Κῷ ὁρισμῷ τῆς βασιλείας μου καὶ παρεδόθη καὶ αὖθις παρ' αὐτοῦ τὸ τοιοῦτον προάστειον πρὸς τὴν ῥηθεῖσαν σεβασμίαν μονὴν τὴν ἐν τῇ Πάτμῳ τοῦ ἠγαπημένου Θεολόγου δι' ἐνυπογράφου αὐτοῦ παραδόσεως, ἐδεήθη δὲ τῆς βασιλείας μου καὶ ὁ τιμιώτατος καθηγούμενος τῆς τοιαύτης σεβασμίας μονῆς τῆς βασιλείας μου, ἱερομόναχος κῦρις Γερμανός, γενέσθαι καὶ ὁρισμὸν τῆς βασιλείας μου εἰς ἐπιστηριγμὸν καὶ βεβαίωσιν τῆς ἐγγράφου ἀποκαταστάσεως τοῦ οἰκείου τῆς βασιλείας μου, Ἰωάννου τοῦ Μαγκαφᾶ, ἡ βασιλεία μου τῆς δεήσεως αὐτοῦ ἐπακούσασα τὸν παρόντα αὐτῆς ὁρισμὸν ἐπορέγει αὐτῷ, δι' οὗ καὶ διορίζεται τὸ βέβαιον καὶ ἀπερικλόνητον ἔχειν τὴν τοιαύτην [παράδοσιν] τοῦ οἰκείου τῆς βασιλείας μου, Ἰωάννου τοῦ Μαγκαφᾶ. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός, ὃς καὶ ὀφείλει προσεῖναι αὐτῷ εἰς ἀσφάλειαν καὶ βεβαίωσιν. †

*Exemplaria 2. Flor. II. nro 31, 32. Huic tabulae praecedit fragmentum alterius* ὁρισμοῦ, *cuius versus legi possunt hi:*

† . . . . . . . . . . . ἐδεήθη τῆς βασιλείας μου καὶ ὁ τιμιώτατος καθηγούμενος τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τῆς Πάτμου, ἱερομόναχος κῦρις Γερμανός, ἑδραιωθῆναι τὴν τοιαύτην παράδοσιν καὶ δι' ὁρισμοῦ τῆς βασιλείας μου, ἡ βασιλεία μου τῆς δεήσεως αὐτοῦ ὑπακούσασα τὸν παρόντα αὐτῆς ὁρισμὸν ἐπορέγει αὐτῷ, δι' οὗ καὶ διορίζεται, τὸ στέργον καὶ ἑδραιούμενον ἔχειν τὴν παράδοσιν τοῦ οἰκείου τῆς βασιλείας μου, Ἰωάννου τοῦ Μαγκαφᾶ· ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμὸς ὀφείλων προσεῖναι αὐτῷ εἰς ἀσφάλειαν. †

## LXXXI. Sine anno et mense.

***Patriarcha tuetur libertatem monasterii S. Salvatoris in insula Coo, quod est metochium coenobii S. Ioannis.***

### Πιττάκιον πατριαρχικόν.

† Θεοφιλέστατε ἐπίσκοπε τῆς ἁγιωτάτης ἐπισκοπῆς Κῶ. ἀνηνέχθη τῇ ἡμῶν μετριότητι παρὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς σεβασμίας πατριαρχικῆς

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

μονῆς τῆς κατὰ τὴν νῆσον Πάτμον διακειμένης καὶ ἐπ᾿ ὀνόματι τοῦ ἠγαπημένου μαθητοῦ καὶ παρθένου τοῦ Θεολόγου καὶ εὐαγγελιστοῦ Ἰωάννου καὶ ἱδρυμένης καὶ τιμωμένης, ὡς οὐκ ἐᾶται παρὰ σοῦ κατέχειν εἰς μετόχιον τὴν ἐπὶ σταυροπηγίῳ τῆς σῆς ἐπισκοπῆς ἀνεγερθεῖσαν μονήν, ἐπ᾿ ὀνόματι δὲ τοῦ Σωτῆρος τιμωμένην Χριστοῦ, τὴν καὶ πρὸ ὀλίγου παραδοθεῖσαν αὐτῷ παρὰ τοῦ οἰκείου τῆς εὐσεβεστάτης αὐγούστης, τοῦ Μαγκαφᾶ, ἀλλ᾿ ἐκ ταύτης ἀποδιώκεται προφασιζομένης τῆς σῆς θεοφιλίας, ὡς οὐκ ἔξεστι τῇ πατριαρχικῇ μονῇ τοῦ Θεολόγου ἔχειν τὴν ἐπὶ σταυροπηγίῳ τῆς ἐπισκοπῆς ἀνεγερθεῖσαν μονήν, διὰ τὸ εἶναι ταύτην καὶ τὰ ὑπ᾿ αὐτὴν κτήματα καὶ μετόχια αὐτοδέσποτά τε καὶ καθ᾿ ἑαυτά, μὴ παρά τινος τῶν ἐγχωρίων ἐπισκόπων πνευματικῶς ἐπισκεπτόμενα καὶ ἀνακρινόμενα ἀλλ᾿ ἢ παρὰ μόνου τοῦ καθηγουμένου τῆς τοῦ Θεολόγου μονῆς. ὅθεν καὶ διορίζεταί σοι ἡ μετριότης ἡμῶν ἐκστῆναι τῆς τοιαύτης προφάσεως· πολλὰ γὰρ τῶν πατριαρχικῶν μοναστηρίων κέκτηνται εἰς μετόχια μοναστήρια καὶ ἐπισκόπων καὶ μητροπολιτῶν, ἔστι δ᾿ ὅτε καὶ τὰ τῶν μητροπολιτῶν καὶ ἐπισκόπων πατριαρχικὰ δεσπόζουσι μοναστήρια, ἀλλ᾿ οὐ παρὰ τοῦτο καινοτομία τις γίνεται. ἐπεὶ δὲ καὶ ὁ καθηγούμενος τῆς σεβασμίας πατριαρχικῆς μονῆς διὰ τὴν ἐπισυμβᾶσαν τῇ μονῇ συμφορὰν ἀπό τε τῶν κατὰ θάλατταν πειρατῶν, ἀπό τε τῶν κατὰ γῆν ἠθέλησεν ἐπαρεῖν εἰς οἰκείαν ἀνάπαυσιν καὶ φυλακὴν τῶν προσκαθημένων ἐν ταύτῃ μοναχῶν τὴν ὑπὸ σὲ εὑρισκομένην ἐξειλημμένην μονὴν τοῦ Σωτῆρος Χριστοῦ καὶ ἀνοικοδομῆσαι καὶ εἰς μοναστήριον ἀνεγεῖραι διὰ τὸ εἶναι αὐτὴν εἰς τόπον ὀχυρόν τε καὶ ἐπιτήδειον, ἡ μετριότης ἡμῶν καὶ τῆς τῶν μοναχῶν σωτηρίας κηδομένη, ἀποδεχομένη δὲ καὶ τὴν τῆς σῆς θεοφιλίας τιμὴν καὶ ἀνάπαυσιν, διορίζεται ἔχειν μὲν τὴν πατριαρχικὴν τῆς Πάτμου μονὴν εἰς μετόχιον τὴν ἐπὶ σταυροπηγίῳ τῆς σῆς ἐπισκοπῆς ἀνεγερθεῖσαν [μονὴν τοῦ Σωτῆρος Χριστοῦ] μετὰ πάντων τῶν προσόντων αὐτῇ κινητῶν τε καὶ ἀκινήτων πραγμάτων, ἤγουν βιβλίων, χαλκωμάτων, ζώων καὶ ἀλλοίων εἰδῶν κινητῶν τῶν σήμερον [ἐν] τῇ μονῇ εὑρισκομένων ἢ καὶ εἰσέπειτα εὑρεθησομένων, ἀλλὰ δὴ καὶ ἅπαντα τὰ ἀκίνητα, ἤγουν ἀμπελῶνας, ἐλαιῶνας, γῆν χερσαίαν καὶ πάντα τὰ ἐν τῇ μονῇ τῇ σήμερον εὑρισκόμενα, ἔχειν δὲ σὲ τὴν ἀναφορὰν καὶ μόνην, καθὼς εἶχες ταύτην καὶ πρότερον· οὕτω γὰρ αὐτὸς μὲν ἐγχωρήσεις τῷ καθηγουμένῳ τὴν τῆς μονῆς δεσποτείαν, ὁ δὲ τοιοῦτος ἀταράχως καθέξει ταύτην. ποίησον γοῦν, καθὼς σοι ἡ μετριότης ἡμῶν ἐντέλλεται, ἀντιστρέψας τὸ παρὸν πιττάκιον τῆς ἡμῶν μετριότητος τῷ καθηγουμένῳ δι᾿ ἀσφάλειαν. †

*Exemplaria 2. chart. Flor. II. nro 31, 32. Tabula videtur esse Arsenii Autoriani.*

## LXXXII. Sine anno, mense maio, ind. IV.

*Monasterio S. Mariae Nivosae confirmantur possessiones, quas habet in regione Palatiorum.*

### Ἔγγραφον ἀποκαταστάσεως.

† Ἐπεὶ ὡρίσθημεν παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἀπελθεῖν εἰς τὸ κτῆμα τῶν Παλατίων τὸ πλησίον διακείμενον τοῦ Μαιάνδρου καὶ περιτηρήσασθαι τὰ ἐν αὐτῷ ἅπαντα ὑπ[άρχοντα] ἐξαλείμματα καὶ τὰ ἄλλα πάντα τὰ προσαρμόσαντα τῷ τοιούτῳ κτ[ήματι] εἰς ποσότητα νομισματικὴν καὶ παραδοῦναι ταῦτα τῷ μέρει τῶν οἰκείων τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, κυρῷ Κωνσταντίνῳ τῷ Πεπλ . . . ῳ πεντ . . . δύο ἀρχοντοπούλοις χάριν οἰκονομίας αὐτῶν κατὰ τὴν ἀναλογοῦσαν τοῖς τοιούτοις νομισματικὴν ποσότητα, εὕρομεν ἐκεῖ μετὰ τῶν ἄλλων ἐν τῷ ῥηθέντι κτήματι τῶν Παλατίων καὶ τὴν σεβασμίαν [μονήν], τὴν εἰς τὴν περιοχὴν διακειμένην τῶν Παλατίων τῆς ὑπεραγίας Θεοτόκου τῆς οὕτωσὶν ἐπονομαζομένης Κεχιονισμένης, κατέχουσαν χωράφια καὶ ἀμπέλια [καὶ ὀσπήτια κατεχόμενα διὰ] βασιλικῶν ὁρισμῶν τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου αὐθέντου ἡμῶν καὶ βασιλέως κυροῦ Ἰωάννου τοῦ Δούκα καὶ [ἄλλων ἀποκαταστάσεων καὶ παροίκους] ἀπο[κατασταθέντ]ας ἐν τῷ τοιούτῳ κτήματι τῶν Παλατίων καὶ καταγεγραμμένους ὄντας ὀνομαστὶ ἐν ταῖς ἀποκαταστάσεσι ταύταις. ἀκολούθως ο[ὖν] καὶ ἡμεῖς πεποιήκαμεν τῇ τοιαύτῃ μονῇ ἀποκατάστασιν ἐπὶ τοῖς ἀμπελίοις, χωραφίοις καὶ παροίκοις, οἳ καὶ ἔχουσιν οὕτως· οἱ δύο οἱ υἱοὶ τῆς Παπαδίας. ὁ υἱὸς τῆς Βαλλωτίνας. Γεώργιος [ὁ Κ]αταχαλών. ὁ ἀνεψιὸς τοῦ Καταχαλὼν ὁ Πιδόκουλος ὁ υἱὸς τοῦ Βάρδα, ἔχει ἀδελφὴν Εἰρήνην, γαμβρὸν ἐπ' αὐτῇ Λέοντα. Γεώργιος ὁ Τζυχλονᾶς, ἔχει ἀδελφὸν Φωκᾶν. Ἰωάννης τῆς Ψαλάντης, ἔχει ἀδελφὴν Καλήν, γαμβρὸν ἐπ' αὐτῇ Ἰωάννην. Μιχαὴλ [ὁ υἱ]ὸς τῆς Κοσμοῦς, ἔχει ἀδελφὴν Μαρίαν καὶ ἀδελφὸν Νικήταν. οἱ παῖδες τοῦ Ααλουμᾶ. Γρηγόριος ὁ Ἀναπλιώτης. Κωνσταντῖνος ὁ υἱὸς τοῦ Κρεμασμένου. Εὐστάθιος τοῦ Παφνουτίου. Γεώργιος ὁ Ἀκρωτηριανός. Κωνσταντῖνος τῆς Γαρυφ . . ., ἔχει υἱοὺς δύο, Στέφανον καὶ Ἰωάννην. Λέων ὁ γαμβρὸς αὐτοῦ, ἔχει γυναῖκα Μαρίαν. ὁ παπᾶ Ἰωάννης ὁ Καστελλίτης. Νικήτας ὁ Λέριος. ὁ Μυλασσίτης καὶ οἱ παῖδες αὐτοῦ. Νικόλαος ὁ Λ . . τακινός. Κυριακὸς ὁ Λέριος καὶ ὁ ἀνεψιὸς τοῦ αὐ[τοῦ] Κυρι[ακὸς] καὶ ὁ πατρωὸς αὐτοῦ Θεόδωρος. Μιχαὴλ τῆς Ἑλένης. Νικήτας ὁ ἀδελφὸς αὐτοῦ, ἔχει γυναῖκα Θεοφανὼ τοῦ Ἠνιώτου, ἔχει υἱὸν Νικήταν. Γεώργιος ὁ Πολύευκτος. Λέων ὁ Ῥάπτης. χήρα ἡ τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Ἀφράτου. καὶ Ἰωάννης ὁ Παφνούτης, οὕστινας κατέχει ἡ μονὴ καὶ νέμεται, τοῦ δημοσίου ἢ ἑτέρου προσώπου μηδεμίαν πάροδον ἔχειν ἐπ᾽ αὐτοῖς, ἀλλ᾽ ὀφείλουσιν ἐκδουλεύειν τῇ τοιαύτῃ μονῇ, καθὼς καὶ τὰ ἐμφανισθέντα ἡμῖν δικαιώματα διαγορεύουσιν. σὺν τούτοις ὀφείλει κατέχειν ἡ τοιαύτη μονὴ καὶ τὴν στάσιν ἅπασαν Μαρίας τῆς Λίμνενας καὶ Νικήταν υἱὸν τοῦ Μαυρόποδου· ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ἡ παροῦσα ἡμετέρα ἀποκατάστασις καὶ ἐπεδόθη τῷ καθηγουμένῳ τῆς σεβασμίας μονῆς τῆς Κεχιονισμένης, κυρῷ Ἰωαννικίῳ, εἰς ἀσφάλειαν, ὅπως διατηρούμενοι οἱ ἐν τῇ τοιαύτῃ μονῇ ἀσκούμενοι μοναχοὶ ἀνεπηρέαστοι καὶ ἀνενόχλητοι ἐκ τῶν περιστάσεων τοῦ δημοσίου ὑπερεύχονται τοῦ ἐνθέου κράτους τοῦ αὐθέντου ἡμῶν τοῦ βασιλέως τοῦ ἁγίου. †

† Μηνὶ μαΐῳ, ἰνδικτιῶνος δ'. †

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἰωάννης ὁ . . . . νός. †

*Exemplar. Flor. nro 92. Tabula videtur esse anni 1261 (6769).*

## LXXXIII. Sine anno, mense septembri, ind. V.

*Ioseph Pancalus monasterio Spondarum, quod est metochium coenobii S. Ioannis, donat possessiones et inquilinos in insula Coo.*

† Ἐπεὶ ἡ κατὰ τὴν Πάτμον περιώνυμος μονὴ τοῦ κατ᾽ ἐξαίρετον ἠγαπημένου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἔφθασε πάλαι κεκτῆσθαι ἐν τῇδε τῇ νήσῳ τῇ Κῷ ἐν τῷ καιρῷ μᾶλλον, ἐν ᾧ τὴν σύστασιν εἴληφε παρὰ τοῦ ταύτην δειμαμένου, τοῦ ἐν ἁγίοις δηλονότι καὶ ὁσίου Χριστοδούλου, μετόχιον, (ἐπεὶ καὶ πρὸ τῆς δομήσεως τῆς κατὰ τὴν Πάτμον μονῆς ἐνταῦθα τὴν διατριβὴν τῆς διαγωγῆς ἅμα καὶ τὸν τῆς ἀσκήσεως δρόμον αἰσίως ἀνύοντος), τὰ χρειώδη οἱ κατὰ τὴν Πάτμον τότε ὄντες μοναχοὶ τῶν ἀναγκαίων ἀπὸ τοῦ κατὰ τῶν ἐνταῦθα μετοχίου ἐπορίζοντο. τὸν τῇδε γοῦν βίον μεταλλάξαντος τοῦ ἱεροῦ ἐκείνου ἀνδρός, τοῦ ἐν ἁγίοις δηλονότι Χριστοδούλου, καὶ πρὸς τὰ ἐκεῖθεν δικαιότερα ἀπελθόντος, τῇ παραδρομῇ τῶν χρόνων καὶ τῇ ἀνωμαλίᾳ τῶν πραγμάτων καὶ νωθρείᾳ μᾶλλον τῶν κατὰ τὴν Πάτμον τοὺς τῆς ἡγουμενείας οἴακας ἰθυνόντων ἅπαντα σὺν τῷ μετοχίῳ ἀπώλεσαν καὶ οὐδὲ τόπος μνήμης ἦν τοῦ τοιούτου μετοχίου. ὅθεν ἀρτίως αὖθις ὑπὸ τῶν ἀθέων Ἰταλῶν καὶ ἀνοσίων πειρατῶν λίαν βιαζομένων τῶν [ἐν τῇ] κατὰ τὴν Πάτμον εὐαγεστάτῃ μονῇ μοναχῶν εἰς τὴν τῶν ἀναγκαίων χορήγησιν, ἀναφορὰν ἐποιήσαντο, καὶ μᾶλλον ὁ ἐν αὐτῇ τὴν προστασίαν τῆς μονῆς διέπων, ὁ ἱερὸς κυρὸς Γερμανός, πρὸς τὸν ἁγιώτατον

ἡμῶν καὶ οἰκουμενικὸν πατριάρχην, τὸν κυρὸν Ἀρσένιον, καὶ πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα, ἐξαιτούμενος τόπον μετοχίου δωρηθῆναι αὐτοῖς πρὸς γεωργίαν ἐπιτήδειον, ὅπως τὰ χρειώδη αὐτοῖς πορίζωνται, ὡς καὶ τὸ πρότερον. τοίνυν καὶ ἐπεβραβεύθη τῇ μονῇ τῆς Πάτμου καὶ τοῖς ἐν αὐτῇ ἀσκοῦσι μοναχοῖς ἡ κατὰ τὴν Κῶ διακειμένη μονὴ τῶν Σπονδῶν μετὰ καὶ τῶν ὑπ' αὐτῇ πάντων· πατριαρχικὴ γὰρ προϋπάρχουσα, ἠμελημένης οὔσης παντάπασι καὶ λίαν ἐξηλειμμένης, τὴν κατοχὴν δὲ ταύτης ἡ Πάτμος λαβοῦσα διὰ θείου καὶ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ ἅμα καὶ πατριαρχικοῦ, ἔσπευσε ταύτην ἀνακτήσασθαι καὶ εἰς βελτίωσιν καὶ ἐπίδοσιν ἀγαγεῖν· καὶ δὴ ἐλαϊκῶν δένδρων μὴ φθασθεῖσα κεκτῆσθαι ἡ τῶν Σπονδῶν μονὴ καὶ χρῆσιν τούτων ἔχουσα, ἐπαρεκλητεύθη παρὰ τοῦ μέρους [τῶν] τῆς Πάτμου μοναχῶν ὁ πανευγενέστατος ἐκεῖνος κυρὸς Φωκᾶς, ἐνταῦθα τυχὼν παραγενόμενος τὴν ἐξέτασιν τοῦ σιτηρεσίου εἰς τὸν ἅγιον Κοσμᾶν πρὸς τὸ βασιλικὸν στράτευμα ποιήσασθαι. διὸ δὴ παρ' ἐκείνου ὁρισθεὶς ἔγωγε ἀναθεώρησιν τῶν κατὰ τὴν Κῶ νῆσον ποιήσασθαι καὶ ἐξίσωσιν ὡρίσθην ἀφιερῶσαι καὶ ἐν τῇ τῶν Σπονδῶν μονῇ πρότερον ἐλαϊκῶν δένδρων, εἴπερ τυχὸν εὑρήσω ἐκ τῶν ἀνεπιγνώστων, ἀλλὰ δὴ καὶ μισθίους δύο μετὰ καὶ ὧν ἐν τῷ βίῳ ἐπιφέρονται σὺν τῶν κληρονομικῶν αὐτοῖς ὑποστάσεων ὑποτελεῖν καὶ ἐκδουλεύειν τῇ μονῇ, ὡς ἔθος ἦν μοναστηρίοις. καὶ οὕτω μου τὴν ἀναθεώρησιν καὶ ἐξίσωσιν τῶν ἐν τῇ Κῷ ποιουμένου μετὰ τῶν ἄλλων ᾠήθην δέον ἀφοσιώσασθαι καὶ τὴν παραγγελίαν ἐκείνου δὴ τοῦ ἀοιδίμου κυροῦ Φωκᾶ, ἣν ἔφησε πρὸς τὴν τῶν Σπονδῶν γενέσθαι μονὴν ὑπὲρ ψυχικῆς δηλονότι καὶ μᾶλλον σωτηρίας τῶν κραταιῶν καὶ ἁγίων ἡμῶν αὐθεντῶν καὶ βασιλέων, λέγω δὴ τοῦ κυροῦ Μιχαὴλ τοῦ Παλαιολόγου καὶ τῆς πανευσεβοῦς αὐγούστης, κυρᾶς Θεοδώρας. τοίνυν καὶ ἀφιέρωσα τῇ ῥηθείσῃ μονῇ τῶν Σπονδῶν πρότερον τὸ Κάτω Πυργὶν λεγόμενον ἐκ τῆς ἐπισκέψεως ὂν τοῦ Μαρουλλῆ ἐκείνου καὶ πάντη ἐλεύθερον μετὰ τῶν ἐλαϊκῶν καὶ παντοίων ὀπωροφόρων δένδρων καὶ ἀλλοίων εἰδῶν, μετὰ καὶ πάσης ἀρχαίας δικαιώσεως καὶ προνομίας αὐτοῦ. σὺν τούτοις καὶ μισθίους δύο, οὓς καὶ ὀνομάζομεν οὕτως· Μιχαὴλ ὁ Γα . . ., Κωνσταντῖνος τῆς Λεοντῶς, ἔχει γυναῖκα Καλήν, πενθερὰν Μαρίαν, γυναικαδελφὰς Λεοντὼ καὶ Μάλταν, ὑπὲρ τῆς πατρικῆς καὶ μητρικῆς καὶ γυναικείας αὐτοῦ κληρονομίας ἧς ἔχει ἐν διαφόροις τόποις, τέλος διὰ πάντων ἄσπρα τρία καὶ ἀγγαρίαν τὴν κατὰ τὴν δικαίαν συνήθειαν. Γεώργιος ὁ Καλλούδης, ἔχει γυναῖκα Ζωήν, θυγατέρα Μαρίαν, ὑπὲρ τῆς πατρικῆς καὶ μητρικῆς αὐτοῦ κληρονομίας καὶ γυναικείας αὐτοῦ μερίδος, ἧς μερίζεται μετὰ Λέοντος τοῦ Γουδέλη καὶ τῆς θυγατρὸς τοῦ Τζουτζου . . . . ἐν διαφόροις τόποις, τέλος διὰ πάντων ἄσπρα ἓν ἥμισυ. καὶ

τούτων οὕτως παρ' ἡμῶν ἀφιερωθέντων τῇ μονῇ ὀφείλουσι κατέχεσθαι παρὰ τοῦ μέρους αὐτῆς ἀνώτερα πάσης καὶ παντοίας ὀχλήσεως καὶ ἐπηρείας δημοσιακῆς τῆς κατὰ τὴν χώραν ἐπεργομένης, ὡς ἂν ἐκτενέστερον ὑπερεύχωνται τοῖς ἁγίοις ἡμῶν αὐτοκράτορσιν· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμέτερον σιγιλλιῶδες γράμμα ἐγεγόνει καὶ ἐπεδόθη τῇ διαληφθείσῃ μονῇ τῶν Σπονδῶν τῇ ὑπὸ τῇ κατοχῇ τῆς Πάτμου οὔσῃ ὡς μετοχίῳ εἰς ἀσφάλειαν, μηνὶ σεπτεμβρίῳ, ἰνδικτιῶνος ε'. †

† Ὁ δοῦλος τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν κυρᾶς καὶ δεσποίνης ὁ καὶ τὴν ἀναθεώρησιν καὶ ἐξίσωσιν τῆς νήσου Κῶ ποιούμενος, Ἰωσὴφ ὁ Πάγκαλος. †

*Archetyp. membranaceum. Flor. nro 89. Aliud exemplar membr. nro 90.*

## LXXXIV. [6770—1262], mense maio, ind. V.

*Imperator tuetur iura monasterii in metochio Pyrgo contra incolas Malachiorum et Stomatorum.*

† Ἐπεὶ τὸ μέρος τῆς σεβασμίας μονῆς τῆς βασιλείας μου τοῦ ἠγαπημένου Θεολόγου τῆς Πάτμου κέκτηται διὰ χρυσοβούλλου καὶ ὁρισμοῦ τῆς βασιλείας μου ἐν τῷ μετοχίῳ τοῦ Πύργου γῆν ζευγαρίων τεσσάρων, τὴν λεγομένην Γωνίαν τοῦ Πετάκη, καὶ κατέχει ταύτην μέχρι τοῦ νῦν, εὑρίσκει δὲ ὄχλησιν παρὰ τῶν ἐποίκων Μαλαχίων καὶ Στομάτων, διορίζεταί σοι ἡ βασιλεία μου, τῷ ἐνεργοῦντι ἐν τῇ χώρᾳ τοῦ Σαμψὼν δικαίῳ τοῦ δημοσίου, ὡς ἄν, ἐπεὶ διὰ χρυσοβούλλου καὶ ὁρισμοῦ τῆς βασιλείας μου κατέχει τὴν τοιαύτην γῆν τὸ μέρος τῆς μονῆς, ἐπιφωνήσῃς τοῖς δηλωθεῖσιν ἐποίκοις τῶν Μαλαχίων καὶ τῶν Στομάτων ἀπέχειν ἀπὸ τῆς τοιαύτης γῆς καὶ μὴ ἐνοχλεῖν τῇ μονῇ, ὡς ἀποσπασθείσης τῆς τοιαύτης γῆς ἀπὸ τοῦ Μαλαχίου καὶ δοθείσης τῇ μονῇ τῆς βασιλείας μου· ἐπὶ τούτῳ γὰρ ἐγεγόνει τῷ μέρει τῆς διαληφθείσης μονῆς τῆς βασιλείας μου τῆς Πάτμου καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμὸς μηνὶ μαΐῳ, ἰνδικτιῶνος ε'. †

*Archetyp. chart Flor. nro 79.*

## LXXXV. [6770—1262], mense iulio, ind. V.

*Ioannes Sclagita, dux Melanudii, iussu imperatoris dirimit controversiam ortam inter monasterium et incolas vici Malachiorum de terra metochii Pyrgi.*

### Παραδοτικὴ γραφή.

† Ἐπεὶ ὡρίσθη μοι παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ ἀπελθεῖν ἐπὶ τῇ ἀμφιμάχῳ γῇ, ἣ κέκτηται ἡ σεβασμία μονὴ τῆς

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Πάτμου διὰ χρυσοβούλλου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ἡ πλησίον τοῦ μετοχίου αὐτῆς τοῦ Πύργου, ἡ λεγομένη τοῦ Πετάκη, μετὰ τῶν ἐποίκων Μαλαχιωτῶν, καὶ ἐρευνῆσαι τὰ περὶ ταύτης καί, εἴπερ εὕρομεν εἶναι διαφέρον ταύτη τοῖς Μαλαχιώταις ἐποίκοις ἐπὶ γονικῷ δικαίῳ καὶ τέλει δημοσιακῷ, δώσωμεν τὴν περὶ τούτου εἴδησιν δι' ἡμετέρου σημειώματος τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ. εἰ δ' ἴσως δὲ ἐπιμόρτως καὶ προνοιαστικῶς κατεῖχον αὐτὴν καὶ ἐδίδουν τὴν ταύτης μορτὴν ποτὲ μὲν τοῖς κατὰ πρόνοιαν ἔχουσι τὸ ῥηθὲν χωρίον Μαλαχίου, ποτὲ δὲ τοῖς ἐνεργοῦσι τῷ μέρει τοῦ δημοσίου, ἀποκαταστῆσαι καὶ πάλιν ἔχειν αὐτὴν ἡ εἰρημένη μονὴ τῆς Πάτμου κατὰ τὴν περίληψιν τοῦ χρυσοβούλλου λόγου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως. καὶ παραγενόμενοι ἐν τῷ μετοχίῳ τῆς Πάτμου τῷ ἐπιλεγομένῳ Πύργος καὶ τὴν σύναξιν ἐκεῖσε ποιήσαντες μετὰ τῶν ἐποίκων Μαλαχιωτῶν καὶ τοῦ ἐπικρατοῦντος αὐτοὺς κυροῦ Μιχαὴλ τοῦ . . . τατζηγγούρη καὶ τῶν δηλωθησομένων ἐν τῷ σημειώματι κατ' ὄνομα ἀρχόντων καὶ ἐποίκων πλησιοχωριτῶν καὶ ἀνερευνήσαντες ἀκριβῶς τὰ περὶ τούτου ἠναγκάσαμεν προκομίσαι ἡμῖν δικαίωμα γονικὸν ἢ ἀναγραφικόν, καὶ οὐκ ἐδυνήθησαν ἀποδεῖξαι ἡμῖν περὶ ταύτης τῆς γῆς τὸ οἱονοῦν, ἀλλ', ὡς ἐφάνη τὸ ἀληθές, ἐπιμόρτως καὶ προνοιαστικῶς κατεῖχον αὐτὴν ἀποδιδόντες τὴν μορτὴν τῆς τοιαύτης γῆς τῷ μέρει τοῦ δημοσίου τῶν κατὰ τὴν ἡμέραν ἐνεργούντων. καὶ ὡς τοῦτο ἀκριβῶς γνωρίσαντες καὶ παρὰ πάντων τῶν πλησιοχώρων ἀναμαθόντες, ὡς καὶ παρὰ τοῦ παρ' ἡμῶν προϊσταμένου καί, ὅτε ἐξ ὁρισμοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως κατεκράτουν τῶν κατὰ Μαίανδρον ζευγηλατείων βασιλικῶν, ἐνεργήθη καὶ ἐμορτάσθη ἡ εἰρημένη γῆ τοῦ Πετάκη. καὶ πληροφορηθέντες τὰ περὶ τούτου ἀπεκατεστήσαμεν καὶ πάλιν ἔχειν τὴν δηλωθεῖσαν γῆν τοῦ Πετάκη ἡ προειρημένη μονὴ τῆς Πάτμου κατὰ τὸ πρότερον, ὡς δεδήλωται ἐν τῷ χρυσοβούλλῳ λόγῳ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, καὶ μὴ ἔχειν ἀπὸ τοῦδε ἐπ' ἀδείας ἐνοχλῆσαί τις ἢ ἐμποδίσαι τῇ εἰρημένῃ μονῇ περὶ ταύτης τῆς γῆς, ὡς ψυχικὸν δοθὲν ταύτῃ τῇ μονῇ παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως· διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ παρ' ἡμῶν καθ' ὁρισμὸν αὐθεντικὸν βασιλικὸν ἡ παροῦσα παραδοτικὴ γραφὴ καὶ ἐπεδόθη τῇ πολλάκις διαληφθείσῃ μονῇ τῆς Πάτμου τοῦ προσεῖναι αὐτῇ εἰς ἔνδειξιν τῆς ἀληθείας καὶ ἀσφάλειαν μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος ε'. †

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ δοὺξ τῆς χώρας Μελανουδίου, Ἰωάννης ὁ Σελαγίτης. †

† Ὁ ταπεινὸς ἐπίσκοπος τῆς ἁγιωτάτης ἐκκλησίας θεοῦ, πόλεως Ἀμαζονοκορακίας καὶ Χαλκοστάμνου, Ἰωάννης. †

*Exemplar. chart. Flor. nro 83.*

## LXXXVI. [6771—1262], mense septembri, ind. VI.

*Imperator Michaël Palaeologus confirmat monasterio liberam possessionem fundi quattuor iugerum, quem donat coenobio prope metochium Pyrgum.*

† Ἔφθασε μὲν ἡ βασιλεία μου διὰ *χρυσοβούλλου* αὐτῆς δωρήσασθαι τῇ κατὰ τὴν Πάτμον σεβασμίᾳ μονῇ τῇ ἐπ᾽ ὀνόματι τιμωμένῃ τοῦ ἠγαπημένου ἀποστόλου ἁγίου [Ἰωάννου τοῦ Θεολό]γου γῆν ζευγαρίων τεσσάρων, τὴν καὶ τοῦ Πετάκη Γωνίαν καλουμένην, πλησίον τοῦ Πύργου διακειμένην, ἣν δὴ γῆν καὶ κατεῖχεν ἡ τοιαύτη μονὴ καὶ ἐνέμετο χρόνους ἤδη τρεῖς ἀνενοχλήτως πάντη καὶ ἀταράχως, μήτε τῶν Μαλαχιωτῶν παρ᾽ οὑτινοσοῦν μήτε τινὸς ἄλλου τῶν ἢ στρατευομένων ἢ παρα[κελ]ευομένων διά τινος ὀχλήσεως γενομένου τοῖς μοναχοῖς ὁπωσδήποτε. τοῦ δέ γε χωρίου τοῦ ἐπονομαζομένου Μαλαχίου εἰς πρόνοιαν δωρηθέντος τῷ θείῳ τῆς βασιλείας μου, κυρῷ Γεωργίῳ Κομνηνῷ τῷ Ἀγγέλῳ, δι᾽ ὄχλου ἐγένετο οὗτος τῇ [δηλ]ωθείσῃ μονῇ, χάριν τῆς τοιαύτης γῆς προηγμένος εἰς τοῦτο ἀπὸ φωνῆς τῶν Μαλαχιωτῶν καὶ διενιστάμενος ἀπὸ τῆς ἐκείνων στάσεως δεῖξαι, ὡς τοῖς Μαλαχιώταις ἀνήκει α[ὐτὴ] καὶ [γ]ονικ[ό]θεν διαφέρει αὐτοῖς καὶ καταγεγραμμένη ἐστὶν ἐν τοῖς τούτων βιολογίοις καὶ βάρη τελεσμάτων ἐπίκεινται [τού]τοις δημοσιακῶν τε καὶ στρα[τιωτικῶν] ἕνεκα ταύτης. ἀνήνεγκαν οὖν τὰ περὶ τούτου καὶ ἀμφότερα τὰ μέρη τῇ βασιλείᾳ μου καὶ ἀπελύθη ὁρισμὸς αὐτῆς πρός τε τὸν θεοφιλέστατον ἐπίσκοπον Ἀμαζόνος καὶ πρὸς τὸν οἰκεῖον τῇ βασιλείᾳ μου, δοῦκα τῆς χώρας Μελανουδίου, Ἰωάννην τὸν Σελαγίτην, διοριζόμενος τούτοις τηρῆσαι τὴν τοιαύτην ὑπόθεσιν τοπικῶς παρουσίᾳ καὶ [ἀμφοτέρων] τῶν μερῶν καὶ ἀξιοπίστων ἐγχωρίων ἀνθρώπων, καὶ εἰ μὲν φανείη, ὅτι ἡ τοιαύτη γῆ πρὸ τοῦ διὰ χρυσοβούλλου τῆς βασιλείας μου δωρηθῆναι τῇ δηλωθείσῃ μονῇ κατεκάμνετο μὲν παρὰ τῶν Μαλαχιωτῶν, τὸ δέ γε χάρι[ν μ]ορτῆς ἀνῆκον αὐτῇ ἐδίδοντο πρὸς τὸ μέρος τοῦ δημοσίου ἢ πρὸς τοὺς κατὰ καιροὺς εἰς πρόνοιαν ἔχοντας τὰ Μαλαχίου, ἵνα κατέχηται παρὰ τοῦ μέρους τῆς μονῆς, καθὼς ἐδωρήθη ταύτῃ παρὰ τῆς βασιλείας μου· ἡ γὰρ ἐπὶ μορτῇ τούτων νομὴ οὐ βλάπτει τὴν δωρεὰν τῆς βασιλείας μου διὰ τὸ φαίνεσθαι τὴν δεσποτείαν ἐκείνων εἶναι τῶν κατεχόντων τὴν γῆν· εἰ δὲ παρὰ τῶν Μαλαχιωτῶν